UNIVERSITY OF CAMBRIDGE

# CLASSICAL TRIPOS Part I
# Paper 2

# MODERN AND MEDIEVAL LANGUAGES Part IB
# Paper GL 11

Thursday 5 June 2003 9 to 12

ALTERNATIVE PASSAGES FOR TRANSLATION FROM GREEK AUTHORS

*Answer* **all** *the questions.*

*Use a separate booklet for* **each** *Section.*

**The Examiners will give equal weight to each Section.**

*Write your* **number** **(not** *your name*) *on the cover-sheet of* **each** *Section booklet.*

**It is important to write good English.**

**You may not start to read the questions printed on the subsequent pages of this question paper until instructed that you may do so by the Invigilator**

## SECTION A

*Translate:*

**A1** *The speaker pleads for retention of a disability allowance.*

ἀλλὰ γὰρ οὐκ οἶδ' ὅ τι δεῖ λίαν με ἀκριβῶς ἀπολογούμενον πρὸς ἓν ἕκαστον ὑμῖν τῶν εἰρημένων ἐνοχλεῖν πλείω χρόνον. εἰ γὰρ ὑπὲρ τῶν μεγίστων εἴρηκα, τί δεῖ περὶ τῶν φαύλων ὁμοίως τούτῳ σπουδάζειν; ἐγὼ δ' ὑμῶν, ὦ βουλή, δέομαι πάντων τὴν αὐτὴν ἔχειν περὶ ἐμοῦ διάνοιαν, ἥνπερ καὶ πρότερον. μηδ' οὗ μόνου μεταλαβεῖν ἔδωκεν ἡ τύχη μοι τῶν ἐν τῇ πατρίδι, τούτου διὰ τουτονὶ ἀποστερήσητέ με· μηδ' ἃ πάλαι κοινῇ πάντες ἔδοτέ μοι, νῦν οὗτος εἷς ὢν πείσῃ πάλιν ὑμᾶς ἀφελέσθαι. ἐπειδὴ γάρ, ὦ βουλή, τῶν μεγίστων ὁ δαίμων ἀπεστέρησεν ἡμᾶς, ἡ πόλις ἡμῖν ἐψηφίσατο τοῦτο τὸ ἀργύριον, ἡγουμένη κοινὰς εἶναι τὰς τύχας τοῖς ἅπασι καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν. πῶς οὖν οὐκ ἂν δειλαιότατος εἴην, εἰ τῶν μὲν καλλίστων καὶ μεγίστων διὰ τὴν συμφορὰν ἀπεστερημένος εἴην, ἃ δ' ἡ πόλις ἔδωκε προνοηθεῖσα τῶν οὕτως διακειμένων, διὰ τὸν κατήγορον ἀφαιρεθείην; μηδαμῶς, ὦ βουλή, ταύτῃ θῆσθε τὴν ψῆφον.

LYSIAS XXIV 21–23

**A2** *Uneasy lies the head that wears a crown.*

βούλομαι δέ σοι, ἔφη, ὦ Σιμωνίδη, κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι ὅσαις ἐγὼ χρώμενος ὅτ' ἦν ἰδιώτης, νῦν ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. ἐγὼ γὰρ ξυνῆν μὲν ἡλικιώταις ἡδόμενος ἡδομένοις ἐμοί, συνῆν δὲ ἐμαυτῷ, ὁπότε ἡσυχίας ἐπιθυμήσαιμι, διῆγον δ' ἐν συμποσίοις πολλάκις μὲν μέχρι τοῦ ἐπιλαθέσθαι πάντων εἴ τι χαλεπὸν ἐν ἀνθρωπίνῳ βίῳ ἦν, πολλάκις δὲ μέχρι τοῦ ᾠδαῖς τε καὶ θαλίαις καὶ χοροῖς τὴν ψυχὴν συγκαταμιγνύναι, πολλάκις δὲ μέχρι κοίτης ἐπιθυμίας ἐμῆς τε καὶ τῶν παρόντων. νῦν δὲ ἀπεστέρημαι μὲν τῶν ἡδομένων ἐμοὶ διὰ τὸ δούλους ἀντὶ φίλων ἔχειν τοὺς ἑταίρους, ἀπεστέρημαι δ' αὖ τοῦ ἡδέως ἐκείνοις ὁμιλεῖν διὰ τὸ μηδεμίαν ἐνορᾶν εὔνοιαν ἐμοὶ παρ' αὐτῶν· μέθην δὲ καὶ ὕπνον ὁμοίως ἐνέδρᾳ φυλάττομαι. τὸ δὲ φοβεῖσθαι μὲν ὄχλον, φοβεῖσθαι δ' ἐρημίαν, φοβεῖσθαι δὲ ἀφυλαξίαν, φοβεῖσθαι δὲ καὶ αὐτοὺς τοὺς φυλάττοντας, καὶ μήτ' ἀόπλους ἔχειν ἐθέλειν περὶ αὐτὸν μήθ' ὡπλισμένους ἡδέως θεᾶσθαι, πῶς οὐκ ἀργαλέον ἐστὶ πρᾶγμα;

εὐφροσύνη: *good cheer, merriment*
θαλία: *festivity*

XENOPHON *Hiero* VI 1–4

**SECTION B**

*Translate:*

**B1** *Telemachus asks Nestor for news of his father*

"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
εἴρεαι ὁππόθεν εἰμέν· ἐγὼ δέ κέ τοι καταλέξω.
ἡμεῖς ἐξ Ἰθάκης ὑπονηΐου εἰλήλουθμεν·
πρῆξις δ' ἥδ' ἰδίη, οὐ δήμιος, ἣν ἀγορεύω.
πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι, ἤν που ἀκούσω,
δίου Ὀδυσσῆος ταλασίφρονος, ὅν ποτέ φασι
σὺν σοὶ μαρνάμενον Τρώων πόλιν ἐξαλαπάξαι.
ἄλλους μὲν γὰρ πάντας, ὅσοι Τρωσὶν πολέμιζον,
πευθόμεθ', ἧχι ἕκαστος ἀπώλετο λυγρὸν ὄλεθρον,
κείνου δ' αὖ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων.
οὐ γάρ τις δύναται σάφα εἰπέμεν ὁππόθ' ὄλωλεν,
εἴθ' ὅ γ' ἐπ' ἠπείρου δάμη ἀνδράσι δυσμενέεσσιν,
εἴτε καὶ ἐν πελάγει μετὰ κύμασιν Ἀμφιτρίτης.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλησθα
κείνου λυγρὸν ὄλεθρον ἐνισπεῖν, εἴ που ὄπωπας
ὀφθαλμοῖσι τεοῖσιν, ἢ ἄλλου μῦθον ἄκουσας
πλαζομένου· πέρι γάρ μιν ὀϊζυρὸν τέκε μήτηρ.
μηδέ τί μ' αἰδόμενος μειλίσσεο μηδ' ἐλεαίρων,
ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἤντησας ὀπωπῆς."

HOMER *Odyssey* III 79–97

ἐνισπεῖν: aor. inf. of ἐνέπω *to tell of*
ὀϊζυρός: *miserable*

**B2** *Antigone contemplates her punishment at the hands of Creon for honouring her brother Polyneices' body*

ΑΝΤΙΓΟΝΗ

*νῦν δέ, Πολύνεικες, τὸ σὸν*
*δέμας περιστέλλουσα τοιάδ' ἄρνυμαι.*
*καίτοι σ' ἐγὼ 'τίμησα τοῖς φρονοῦσιν εὖ.*
*οὐ γάρ ποτ' οὔτ' ἂν εἰ τέκν' ὧν μήτηρ ἔφυν*
*οὔτ' εἰ πόσις μοι κατθανὼν ἐτήκετο,*
*βίᾳ πολιτῶν τόνδ' ἂν ᾐρόμην πόνον.*
*τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω;*
*πόσις μὲν ἄν μοι κατθανόντος ἄλλος ἦν,*
*καὶ παῖς ἀπ' ἄλλου φωτός, εἰ τοῦδ' ἤμπλακον,*
*μητρὸς δ' ἐν Ἅιδου καὶ πατρὸς κεκευθότοιν*
*οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτέ.*
*τοιῷδε μέντοι σ' ἐκπροτιμήσασ' ἐγὼ*
*νόμῳ, Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν*
*καὶ δεινὰ τολμᾶν, ὦ κασίγνητον κάρα.*
*καὶ νῦν ἄγει με διὰ χερῶν οὕτω λαβὼν*
*ἄλεκτρον, ἀνυμέναιον, οὔτε του γάμου*
*μέρος λαχοῦσαν οὔτε παιδείου τροφῆς,*
*ἀλλ' ὧδ' ἐρῆμος πρὸς φίλων ἡ δύσμορος*
*ζῶσ' ἐς θανόντων ἔρχομαι κατασκαφάς.*

SOPHOCLES *Antigone* 902–920

*ἄρνυμαι*: *win*
*ἤμπλακον*: 1 sg. aor. indic. of *ἀμπλακίσκω* *fall short of* + gen.
*κατασκαφή*: *cavern*

**B3 Either** (*a*)

ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν,
οἱ δ' ἐς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν
ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
κώκυσέν τ' ἄρ' ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·
"ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ' ἰόντες,
εἴ ποτε καὶ ζώοντι μάχης ἒκ νοστήσαντι
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ."
ὣς ἔφατ', οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.

HOMER *Iliad* XXIV 692–709

**Or** (*b*)

ΠΡΕΣΒΥΣ ΗΛΕΚΤΡΑ ΟΡΕΣΤΗΣ

Πρ. οἱ δὲ ξένοι ποῦ; βούλομαι γὰρ εἰσιδὼν
αὐτοὺς ἐρέσθαι σοῦ κασιγνήτου πέρι.
Ηλ. οἵδ' ἐκ δόμων βαίνουσι λαιψηρῷ ποδί.
Πρ. ἀλλ' εὐγενεῖς μέν, ἐν δὲ κιβδήλῳ τόδε·
πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσιν κακοί.
ὅμως δὲ χαίρειν τοὺς ξένους προσεννέπω.
Ορ. χαῖρ', ὦ γεραιέ. τοῦ ποτ', Ἠλέκτρα, τόδε
παλαιὸν ἀνδρὸς λείψανον φίλων κυρεῖ;
Ηλ. οὗτος τὸν ἁμὸν πατέρ' ἔθρεψεν, ὦ ξένε.
Ορ. τί φῄς; ὅδ' ὃς σὸν ἐξέκλεψε σύγγονον;
Ηλ. ὅδ' ἔσθ' ὁ σώσας κεῖνον, εἴπερ ἔστ' ἔτι.
Ορ. ἔα·
τί μ' ἐσδέδορκεν ὥσπερ ἀργύρου σκοπῶν
λαμπρὸν χαρακτῆρ'; ἦ προσεικάζει μέ τῳ;
Ηλ. ἴσως Ὀρέστου σ' ἥλιχ' ἥδεται βλέπων.
Ορ. φίλου γε φωτός. τί δὲ κυκλεῖ πέριξ πόδα;
Ηλ. καὐτὴ τόδ' εἰσορῶσα θαυμάζω, ξένε.
Πρ. ὦ πότνι', εὔχου, θύγατερ Ἠλέκτρα, θεοῖς.
Ηλ. τί τῶν ἀπόντων ἢ τί τῶν ὄντων πέρι;
Πρ. λαβεῖν φίλον θησαυρόν, ὃν φαίνει θεός.

EURIPIDES *Electra* 547–565

**[TURN OVER for continuation of Question B3**

**Or** (c)

ἐπειδὴ δὲ κατεκλίνη, εἰπεῖν· "εἶεν δή, ἄνδρες· δοκεῖτε γάρ μοι νήφειν. οὐκ ἐπιτρεπτέον οὖν ὑμῖν, ἀλλὰ ποτέον· ὡμολόγηται γὰρ ταῦθ' ἡμῖν. ἄρχοντα οὖν αἱροῦμαι τῆς πόσεως, ἕως ἂν ὑμεῖς ἱκανῶς πίητε, ἐμαυτόν. ἀλλὰ φερέτω, Ἀγάθων, εἴ τι ἐστὶν ἔκπωμα μέγα. μᾶλλον δὲ οὐδὲν δεῖ, ἀλλὰ φέρε, παῖ," φάναι, "τὸν ψυκτῆρα ἐκεῖνον," ἰδόντα αὐτὸν πλέον ἢ ὀκτὼ κοτύλας χωροῦντα. τοῦτον ἐμπλησάμενον πρῶτον μὲν αὐτὸν ἐκπιεῖν, ἔπειτα τῷ Σωκράτει κελεύειν ἐγχεῖν καὶ ἅμα εἰπεῖν· "πρὸς μὲν Σωκράτη, ὦ ἄνδρες, τὸ σόφισμά μοι οὐδέν· ὁπόσον γὰρ ἂν κελεύῃ τις, τοσοῦτον ἐκπιὼν οὐδὲν μᾶλλον μή ποτε μεθυσθῇ."

τὸν μὲν οὖν Σωκράτη ἐγχέαντος τοῦ παιδὸς πίνειν· τὸν δ' Ἐρυξίμαχον "πῶς οὖν," φάναι, "ὦ Ἀλκιβιάδη, ποιοῦμεν; οὕτως οὔτε τι λέγομεν ἐπὶ τῇ κύλικι οὔτε τι ᾄδομεν, ἀλλ' ἀτεχνῶς ὥσπερ οἱ διψῶντες πιόμεθα;"

τὸν οὖν Ἀλκιβιάδην εἰπεῖν· "ὦ Ἐρυξίμαχε, βέλτιστε βελτίστου πατρὸς καὶ σωφρονεστάτου, χαῖρε."

"καὶ γὰρ σύ," φάναι τὸν Ἐρυξίμαχον· "ἀλλὰ τί ποιῶμεν;" "ὅτι ἂν σὺ κελεύῃς. δεῖ γάρ σοι πείθεσθαι·

ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων·

ἐπίταττε οὖν ὅτι βούλει."

PLATO *Symposium* 213e–214b